πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως, καταφρονῶν δὲ τῆς ἀργίας ὑπάρχη καὶ ἀφωρισμένος ἀπὸ θεοῦ, ὡς τῇ παντελεῖ καθαιρέσει ὑπόδικος, τοῦ λαϊκοῦ δὲ ἢ μοναδικοῦ τάγματος ὢν ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ τοῦ Θεολόγου. ἐν ἔτει ,αψκβ', μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ιε'. †

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Ἡρακλείας καὶ Ῥαιδεστοῦ Καλλίνικος. †
† Ὁ Νικαίας Γεράσιμος. †
† Ὁ Δράμας Κύριλλος. †
† Ὁ Βάρνης Καλλίνικος. †
† Ὁ Φιλιππουπόλεως Θεόκλητος. †
† Ὁ Σωζοπόλεως Ἰωάσαφ. †
† Ὁ Κυζίκου Αὐξέντιος. †
† Ὁ Χαλκηδόνος Παρθένιος. †
† Ὁ Ἰκονίου Σίλβεστρος. †
† Ὁ Δέρκων Νικόδημος. †
† Ὁ Προικονήσου Θεόκλητος. †
† Ὁ Νικομηδείας Παΐσιος. †
† Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος. †
† Ὁ Ναυπάκτου καὶ Ἄρτης Νεόφυτος. †
† Ὁ Γάνου καὶ Χώρας Γρηγόριος. †
† Ὁ Καρπάθου Νεόφυτος. †
† Ὁ Λιτίτζης Μεθόδιος. †

*Archet. membr. cum bulla plumbea. Flor. II. nro 66.*

## CXLVI. [7234—1726], mense iunio, ind. IV.

*Patriarcha Paisius II. confirmat libertatem metochii S. Antonii in insula Coo.*

† Παΐσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Θεοφιλέστατε ἀρχιεπίσκοπε Κῶ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες τῆς ἐπαρχίας καὶ νήσου ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ. ἀνηνέχθη καὶ ἐδηλοποιήθη ἡμῖν παρὰ τῶν ὁσιωτάτων πατέρων τοῦ ἐν τῇ νήσῳ

Πάτμῳ ἱεροῦ, σεβασμίου τε καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ὅτι εὑρίσκεται εἰς τὰ αὐτόθι μετόχιον τοῦ μοναστηρίου αὐτῶν τούτου, ἐν ᾧ ὑπάρχει καὶ ἐκκλησία τιμωμένη ἐπ' ὀνόματι τοῦ ἁγίου Ἀντωνίου, ὅπερ μετόχιον αὐτῶν ὁμοῦ μετὰ τῆς ῥηθείσης ἐκκλησίας ἄνωθεν καὶ ἐξ ἀρχῆς διετέλεσαν ἀσύδοτα, ἀκαταπάτητά τε καὶ ἀνεπηρέαστα παρὰ παντὸς προσώπου ὡς σταυροπηγιακὰ κτήματα καὶ ἀφιερώματα τοῦ εἰρημένου μοναστηρίου τῆς Πάτμου κατὰ τὴν περίληψιν τῶν φιλοτιμηθέντων ἀνέκαθεν τῷ μοναστηρίῳ τούτῳ πατριαρχικῶν σιγιλλίων ἀποφαινομένων καὶ διοριζομένων, ὅπως πάντα, ὅσαπερ ἂν ἔχῃ μετόχια ἐν διαφόροις τόποις καὶ ἐπαρχίαις τὸ ῥηθὲν ἐν τῇ Πάτμῳ μοναστήριον, ὑπάρχωσιν ἐλεύθερα καὶ ἀσύδοτα. τὰ νῦν δὲ οὐκ οἴδαμεν ὅπως τολμῶσί τινες ἐνοχλεῖν καὶ ἐπηρεάζειν τὸ εἰς τὰ αὐτόθι εὑρισκόμενον μετόχιον τοῦτο τῆς Πάτμου μετὰ τῆς ῥηθείσης ἐν αὐτῷ ἐκκλησίας τοῦ ἁγίου Ἀντωνίου καὶ ζητεῖν παρ' αὐτοῦ δόσιν χρημάτων ἀπ' ἐναντίας φερόμενοι τοῖς προεκδοθεῖσι πατριαρχικοῖς σιγιλλίοις καὶ τῇ φιλοτιμηθείσῃ ἀνέκαθεν σταυροπηγιακῇ ἀξίᾳ, ἐλευθερίᾳ τε καὶ ἀσυδοσίᾳ τῷ ῥηθέντι μοναστηρίῳ τῆς Πάτμου. τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μὲν ῥηθὲν εἰς τὰ αὐτόθι μετόχιον τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ ὁμοῦ μετὰ τῆς ἐν αὐτῷ ἐκκλησίας τοῦ ἁγίου Ἀντωνίου, ὡς ἀφιερώματα καὶ κτήματα ὑπάρχοντα τοῦ ῥηθέντος σταυροπηγιακοῦ καὶ βασιλικοῦ μοναστηρίου τῆς Πάτμου καὶ αὐτὰ ὁμοίως σταυροπηγιακῇ ἀξίᾳ καὶ ἐλευθερίᾳ τετιμημένα κατὰ τὴν περίληψιν τῶν προεκδοθέντων σταυροπηγιακῶν σιγιλλίων ὑπάρχωσιν ἀσύδοτα, ἀκαταζήτητά τε καὶ ἀνεπηρέαστα καὶ ἀνενόχλητα παρὰ παντὸς προσώπου, καὶ μήτε ἡ ἀρχιερωσύνη σου, ὁ κατὰ τόπον ἀρχιερεύς, μήτε ἄλλος τις τὸ παράπαν ἔχῃ ζητεῖν τι παρ' αὐτῶν τῶν σταυροπηγίων πολὺ ἢ ὀλίγον. [εἰ] ὀψέ ποτε δὲ θελήσῃ τις ἐνοχλῆσαι καὶ ἐπηρεάσαι ἢ τὸ ῥηθὲν μετόχιον ἢ τὴν ἐν αὐτῷ ἐκκλησίαν τοῦ ἁγίου Ἀντωνίου καὶ καταφρονῆσαι τῆς σταυροπηγιακῆς ἀξίας, ἐλευθερίας τε καὶ ἀσυδοσίας τοῦ ῥηθέντος μοναστηρίου τῆς Πάτμου, ὁ τοιοῦτος τοῦ μὲν ἱερατικοῦ καταλόγου ὢν ἀργὸς ἔστω πάσης ἱεροπραξίας καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, λαϊκὸς δὲ ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος καὶ ἔξω τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ τῆς τῶν χριστιανῶν ὁμηγύρεως. οὕτω γενέσθω καὶ μὴ ἄλλως, ἐξ ἀποφάσεως. †

† Ἐν μηνὶ Ἰουνίῳ, ἰνδικτιῶνος δ'. †

† Ὁ . . . . . . . . . †
† Ὁ . . . . Ἄνθιμος. †
† Ὁ Σερρῶν . . . . †
† Ὁ Ἀγχιάλου Καλλίνικος. †
† Ὁ . . . . . . . . . . †
† Ὁ Χαλκηδόνος Νικόδημος. †
† Ὁ Ῥόδου . . . . †
† Ὁ . . . . . . . . . . †
† Ὁ Νικομηδείας . . . . †
† Ὁ Κώου Γρηγόριος. †
† Ὁ . . . . . . . . . . †
† Ὁ Προικοννήσου Θεόκλητος. †
† Ὁ Λιτίτζης Μεθόδιος. †

*Archetyp. Flor. II. nro 67, qui tribuit tabulam anno 1726 (7234).*

## CXLVII. 7236—1727, mense novembri, ind. VI.

*Exarchia Patmi conceditur abbati monasterii.*

† Παΐσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ἐντιμότατοι κληρικοὶ τῆς ἡμετέρας πατριαρχικῆς ἐξαρχίας τῆς ἐν τῇ νήσῳ Πάτμῳ καὶ εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες καὶ λοιποὶ εὐλογημένοι χριστιανοί, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. γνωστὸν ὑμῖν ἔστω, ὡς ὁ καθολικὸς ἡμῶν ἔξαρχος, ἐντιμότατος καὶ λογιώτατος πρῶτος ὀστιάριος τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ· μεγάλης ἐκκλησίας, Κυρίτζη Μιχαλάκης, υἱὸς κατὰ πνεῦμα ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, δέδωκε καὶ αὖθις τὴν ἐπιστασίαν καὶ διοίκησιν τῆς ἐξαρχίας αὐτοῦ ταύτης πρὸς τὸν ὁσιώτατον καθηγούμενον τῆς αὐτόθι ἱερᾶς καὶ σεβασμίας πατριαρχικῆς καὶ βασιλικῆς μονῆς τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐπὶ τῷ ἐπιστατεῖν καὶ διοικεῖν ἐν αὐτῇ ἀπὸ τῆς ἤδη πρώτης τοῦ σεπτεμβρίου μηνὸς τῆς νῦν τρεχούσης ἕκτης ἰνδικτιῶνος μέχρι τῆς συμπληρώσεως αὐτῆς, εἰς χρόνον δηλονότι ὁλόκληρον ἕνα, καὶ συνάγειν καὶ παραλαμβάνειν τὰ ἐμπίπτοντα συνήθη ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα. διὸ καὶ γράφοντες ἐντελλόμεθα ὑμῖν, ἵνα τὸν αὐτὸν ὁσιώτατον καθηγούμενον, ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Ἀθανάσιον, γινώσκοντες καὶ πάλιν ἔξαρχον καὶ ἐπίτροπον τοῦ καθολικοῦ ἡμῶν ἐξάρχου τιμᾶτε καὶ ἀγαπᾶτε καὶ εὐλαβῆσθε καὶ πείθησθε καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον, καὶ δίκαιον ἄδειαν ἔχοντι καὶ ἐξουσίαν παρ' ἡμῶν κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐκκλησιαστικὴν κρίσιν τε καὶ ὑπόθεσιν καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστᾶν καὶ ἀργεῖν καὶ ἀφορίζειν πάντα ἄτακτον καὶ ἀπειθῆ φανέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΣΩΣΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΓ. ΔΑΗΣ Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

μενον πρὸς αὐτόν, ἱερωμένον καὶ λαϊκόν. καὶ παρέχητε αὐτῷ εἰρηνικῶς καὶ εὐγνωμόνως πάντα τὰ συνήθη ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα, κανονικά φημι συνοικέσια, πανηγύρεις, ζητείας, ἐμβατοίκια καὶ εἴ τι ἄλλο τῷ τόπῳ σύνηθες κατ' οὐδὲν ἀντιλέγοντες ἢ ἀντιφερόμενοι. ὃς δ' ἂν ἐξ ὑμῶν φανῇ ἐναντίος καὶ ἀπειθὴς καὶ παρήκοος καὶ οὐ θελήσῃ πληρῶσαι τὸ ἀνάλογον αὐτοῦ ἢ σκάνδαλόν τι καὶ ζημίαν προξενήσῃ τῷ ἐξάρχῳ τούτῳ, ἱερωμένος μὲν ὢν ὁ τοιοῦτος ἀργὸς μένῃ πάσης ἱεροπραξίας καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, λαϊκὸς δὲ ἀφωρισμένος εἴη ἀπὸ θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ ἔξω τῆς τοῦ Χριστοῦ ἐκκλησίας, ἐξ ἀποφάσεως. ὑμεῖς δὲ οἱ πάντες ποιήσατε, ὡς γράφομεν, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις εἴη μεθ' ὑμῶν. ‚αψκζ'. †

† Ἐν μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος ϛ'. †

*Archet. Flor. II. nro 68.*

## CXLVIII. 7245—1736, mense septembri, ind. XV.

*Exarchia Patmi iterum conceditur abbati monasterii.*

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ἐντιμότατοι κληρικοὶ τῆς ἡμετέρας πατριαρχικῆς ἐξαρχίας νήσου Πάτμου καὶ εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες καὶ προεστῶτες καὶ καραβοκύριοι καὶ λοιποὶ εὐλογημένοι χριστιανοὶ τῆς αὐτῆς νήσου, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ θεοῦ κυρίου παντοκράτορος καὶ παρ' ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις. γνωστὸν ἔστω πᾶσιν ὑμῖν, ὡς ὁ καθολικὸς ἡμῶν ἔξαρχος, κὺρ Αὐγουστής, δέδωκε καὶ αὖθις τῷ ὁσιωτάτῳ καθηγουμένῳ τῆς ἡμετέρας πατριαρχικῆς, σταυροπηγιακῆς, βασιλικῆς τε καὶ σεβασμίας μονῆς τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, ἐν ἱερομονάχοις κὺρ Θεοφυλάκτῳ, τὴν ἐπιστασίαν καὶ διοίκησιν τῆς ἐξαρχίας αὐτοῦ ταύτης ἐπὶ τῷ διοικεῖν καὶ ἐπισκέπτεσθαι αὐτὴν ἐπιτροπικῶς καὶ καρποῦσθαι καὶ λαμβάνειν ἅπαντα τὰ ἀνήκοντα αὐτῷ ἐξαρχικά τε καὶ ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα σῶα καὶ ἀνελλειπῆ κατὰ πᾶσαν τὴν ἐλευσομένην δεκάτην πέμπτην ἰνδικτιῶνα, ἤτοι ἀπὸ τῆς πρώτης τοῦ σεπτεμβρίου μηνὸς μέχρι τῆς ἐλευσομένης πάλιν αὐτῆς, εἰς χρόνον δηλονότι ἕνα ὁλόκληρον, ἔχοντι ἄδειαν παρ' ἡμῶν εὐλογεῖν τε καὶ

ἁγιάζειν ὑμᾶς ἱερατικῶς, κρίνειν τε καὶ ἀνακρίνειν πᾶσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστᾶν καὶ παιδεύειν ἐκκλησιαστικῶς πάντα ἄτακτον καὶ ἀπειθῆ φαινόμενον αὐτῷ ἱερωμένον καὶ λαϊκόν. ὅθεν γράφοντες διὰ τοῦ παρόντος ἐντελλόμεθα ὑμῖν, ὅπως γινώσκοντες τὸν διαληφθέντα ὁσιώτατον καθηγούμενον τοῦ ἱεροῦ μοναστηρίου τούτου, ἐν ἱερομονάχοις κῦρ Θεοφύλακτον, ἐπίτροπον τοῦ ῥηθέντος καθολικοῦ ἡμῶν ἐξάρχου, τιμᾶτε καὶ ἀγαπᾶτε καὶ διευλαβῆσθε αὐτὸν καὶ πείθησθε καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον καὶ παρέχητε εἰρηνικῶς, εὐπειθῶς τε καὶ εὐγνωμόνως ἅπαντα τὰ ἐμπίπτοντα αὐτῷ ἐξαρχικά τε καὶ ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα τῆς ἐλευσομένης δεκάτης πέμπτης ἰνδικτιῶνος σῶα καὶ ἀνελλειπῆ, δηλονότι οἱ μὲν ἱερεῖς τὰ κανονικὰ καὶ φιλότιμα, οἱ δὲ λαϊκοὶ τὰ συνοικέσια, ζητείας, πανηγύρεις καὶ εἴ τι ἄλλο τῷ τόπῳ σύνηθες. ὅστις δ' ἂν καὶ ὁποῖος ἐξ ὑμῶν παρακούσῃ καὶ φανῇ ἀπειθὴς καὶ ἀνυπότακτος αὐτῷ ἢ θελήσῃ κατακρατῆσαι ἐξαρχικὸν καὶ ἐκκλησιαστικόν τι δικαίωμα αὐτοῦ, ὁ τοιοῦτος ἱερωμένος μὲν ὢν ἀργὸς μένῃ πάσης ἱερατικῆς ἐνεργείας καὶ τάξεως καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, λαϊκὸς δὲ ἀφωρισμένος εἴη ἀπὸ θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἔξω τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐν ἀργίᾳ καὶ ἀφορισμῷ, ἐξ ἀποφάσεως. ποιήσατε οὖν ἅπαντες, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, ὡς ἀνωτέρω γράφομεν, ἵνα καὶ ἡ χάρις τοῦ ἁγίου θεοῦ καὶ ἡ παρ' ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις εἴη μετὰ πάντων ὑμῶν. †

† ͵αψλϛʹ, ἐν μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος ιεʹ. †

*Archet. Flor. II. nro 69, qui tribuit tabulam patriarchae Paisio II.*

## CXLIX. 7253—1745, mense iunio, ind. VIII.

*Patriarcha Paisius II. et patriarcha hierosolymitanus Parthenius confirmant donationem, quam collegium pellionariorum in Urbe fecit scholae litterarum graecarum monasterii in beneficium inopum discipulorum.*

† Παΐσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Πάντα τὰ παρ' ἀνθρώποις θαυμαζόμενα πόνῳ κτῶνται καὶ μόχθῳ κατορθοῦνται. πολλῶν οὖν καὶ διαφόρων τούτων ὄντων ἡ τῆς Ἑλλάδος φωνῆς καὶ τῶν ἑλληνικῶν μαθημάτων ἄσκησις καὶ παιδεία ἢ μᾶλλον εἰπεῖν ἐπίκτησις τὰ πρωτεῖα φέρει καὶ ὑπέρκειται καὶ ὑπερίδρυται καὶ τιμιωτέρα τῶν ἄλλων πάντων καθέστηκεν, ὡς πηγὴ καὶ ῥίζα καὶ πρόξενος ἐκείνων τυγχάνουσα καὶ τὸ λογικὸν

τοῦ ἀνθρώπου ἐκ τοῦ σκότους τῆς ἀμαθείας πρὸς τὸ τῆς ἀληθείας φῶς διαβιβάζουσά τε καὶ ῥυθμίζουσα καὶ ἐκπαιδεύουσα καὶ τοῖς ὡραιοτάτοις αὐτῆς ἄνθεσι κατακοσμοῦσα καὶ καθωραΐζουσα καὶ τῷ ἀκροτάτῳ καὶ καθαρωτάτῳ καὶ θειοτάτῳ καὶ τὸν ὑλικὸν καὶ χαμερπῆ τοῦτον νοῦν ὡς ἐφεκτὸν τῇ φύσει μονονοὺχ συνενοῦσά τε καὶ συνᾴδουσα καὶ τοὺς ἀτρύτους πόνους ταύτῃ προσανέχοντας καὶ εἰς τὴν αὐτοσοφίαν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὰς ἐλπίδας φέροντας οὐρανοπολίτας υἱούς τε φωτὸς καὶ συγκληρονόμους Χριστοῦ ἀπεργάζουσα, οἵτινες οὐ μόνον δι' εὐφήμου γλώττης παρὰ πάντων ἄγονται δακτυλοδεικτούμενοι, ἀλλὰ καὶ τῶν οὐρανίων ἐκείνων καὶ ἀνεκλαλήτων παρὰ θεοῦ ἀξιοῦνται ἀγαθῶν, οὐχ ἧττον δὲ καὶ οἱ περὶ τοὺς ταύτην μετιόντας τὴν φροντίδα ποιούμενοι καὶ τοῖς ἐνοῦσιν ἀντιληπτικοῖς τρόποις τε καὶ προσόδοις τούτους περιβαλλόμενοι ἀθανάτους τὰς ἀντιδόσεις παρὰ θεοῦ λήψονται. ἐπειδὴ τοιγαροῦν πρὸ ἱκανῶν ἤδη χρόνων παρὰ πολλῶν ἀκούομεν καὶ ἤδη ἀπὸ γράμματος τοῦ ἐλλογιμωτάτου διδασκάλου τῆς ἐν τῇ νήσῳ Πάτμῳ τῶν ἑλληνικῶν μαθημάτων σχολῆς, κὺρ Βασιλείου, ἄλλως τε ἀπὸ ζώσης φωνῆς τοῦ ἐνταῦθα παρευρεθέντος τό γε νῦν ἔχον λογιωτάτου διδασκάλου, κὺρ Ἀρσενίου, ἔγνωμεν καὶ ἐβεβαιώθημεν, ὅτι πολλοὶ τῶν ἐκεῖσε ἔρωτι ἀσκήσεώς τε καὶ μαθήσεως προσφοιτώντων χριστιανῶν, ἱερωμένων τε καὶ λαϊκῶν, τῶν πρὸς ζωάρκειαν ἀναγκαίων στερούμενοι παλινῳδίαν ᾄδουσι καὶ τοῦ ποθουμένου ἑκόντες ἀέκοντες ὀδυνηρῶς ἀποτυγχάνουσι, κἀντεῦθεν χριστιανοί τινες πρόκριτοι τοῦ ἐνταῦθα ἐν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων εὐλογημένου ῥουφετίου τῶν χρησίμων μαγιστόρων γουναράδων, εὐσεβεῖς τε καὶ φιλέλληνες, θείῳ ζήλῳ κινηθέντες, οἴκτῳ τε καμφθέντες πρὸς τοὺς βοηθείας χρήζοντας ἐκεῖσε φοιτητὰς εἰς τὴν τῶν μαθημάτων ἐπίκτησιν κατέβαλον ἤδη ἐξ ἰδίων ἕκαστος αὐτῶν καὶ ἀφιέρωσαν τῷ φροντιστηρίῳ τούτῳ γρόσια μετρητὰ τὸν ἀριθμὸν τρεῖς χιλιάδας καὶ πεντακόσια κεφάλαιον ἐπὶ συνθήκῃ καὶ συμφωνίᾳ τοῦ τοκίζεσθαι ταῦτα δι' ἐπιστασίας τε καὶ φροντίδος τῶν κατὰ καιροὺς χρησίμων προεστώτων τε καὶ ἐπιτρόπων τοῦ ῥουφετίου τούτου ἀλληλοδιαδόχως εἰς αἰῶνα τὸν ἅπαντα, καὶ ὑπ' αὐτῶν ἐξαποστέλλεσθαι κατ' ἔτος ἀπαραιτήτως τὸν δουλευόμενον αὐτῶν τόκον πρὸς τὸν κατὰ καιροὺς καθηγητὴν τῆς σχολῆς ταύτης ὀφείλοντα διανέμειν καὶ διδόναι κατὰ ἀναλογίαν τοῖς ἐνδεέσι καὶ ἀπόροις μαθηταῖς αὐτοῦ ἀπροσωπολήπτως καὶ ἐν καθαρῷ συνειδότι ψυχῆς πρὸς περίθαλψιν καὶ κυβέρνησιν αὐτῶν ἄχρι τοῦ σώζεσθαι καὶ συντηρεῖσθαι καὶ συνίστασθαι τὸ αὐτὸ σχολεῖον ἐν τῇ νήσῳ ταύτῃ Πάτμῳ, ἑπομένως δὲ προσδραμόντες τῇ προνοίᾳ καὶ δεφενδεύσει τῆς ἐκκλησίας ἐδεήθησαν θερμῶς ἐπικυρωθῆναί τε καὶ βεβαιωθῆναι τὸ θεάρεστον ἔργον αὐτῶν τοῦτο δι' ἐκκλησιαστικοῦ ἡμῶν βεβαιωτηρίου γράμματος εἰς κοινὴν αὐτῶν κατὰ

ψυχὴν σωτηρίαν τε καὶ ὠφέλειαν καὶ διηνεκῆ, ἀσφαλῆ τε καὶ ἀμετάτρεπτον σύστασιν τοῦ πράγματος. τούτου χάριν καὶ ἡμεῖς τὴν αἴτησιν αὐτῶν ταύτην ὡς εὔλογόν τε καὶ πρὸς θεοφιλῆ ἀφορῶσαν σκοπὸν εὐμενῶς ἀποδεξάμενοι γράφομεν γνώμη τε καὶ συναινέσει τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης, κυρίου, κυρίου Παρθενίου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ εἰρημένα ἑπτὰ πουγγεῖα τῶν ἄσπρων ὡς ἅπαξ προσηλωθέντα τε καὶ ἀφιερωθέντα τῇ κατὰ τὴν νῆσον ταύτην Πάτμον διατελούσῃ τῶν ἑλληνικῶν μαθημάτων σχολῇ ὀφείλωνται κατὰ πάντα δικαίου λόγον μένειν τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον μέχρι τῆς συστάσεως τοῦ αὐτοῦ ἐν τῇ Πάτμῳ σχολείου δηλαδὴ ἀναποσπάστως καὶ ἀναφαιρέτως ὑπὸ τὴν ἐπιστασίαν καὶ διοίκησιν τῶν κατὰ καιροὺς χρησίμων προεστώτων καὶ ἐπιτρόπων τοῦ ἐνταῦθα ἐν Κωνσταντινουπόλει εὐλογημένου ῥουφετίου τῶν γουναράδων, τοκίζεσθαί τε ὑπ' αὐτῶν καὶ πέμπεσθαι τὸν ἐτήσιον αὐτῶν τόκον μετὰ πάσης ἀσφαλείας τῷ κατὰ καιροὺς διδασκάλῳ τοῦ αὐτοῦ ἐν τῇ Πάτμῳ φροντιστηρίου, ὀφείλοντι ἀπαραιτήτως διανέμειν καὶ διδόναι κατὰ ἀναλογίαν τὰ ἀποστελλόμενα πρὸς τοὺς ἐνδείᾳ πιεζομένους μαθητὰς αὐτοῦ ἀφιλοπροσώπως καὶ ἐν καθαρῷ συνειδότι ψυχῆς ἐξ ἅπαντος εἰς περίθαλψιν καὶ κυβέρνησιν αὐτῶν, προκοπήν τε καὶ ἐπίδοσιν καὶ εὐδοκίμησιν ἐν τοῖς μαθήμασιν, ὡς εἴρηται, περὶ ἧς ὑποθέσεως ἐγράφη καὶ ἕτερον ἐκκλησιαστικὸν ἡμῶν γράμμα τὰ αὐτὰ διαλαμβάνων καὶ ἐδόθη τῷ εἰρημένῳ ῥουφετίῳ τῶν χρησίμων γουναράδων χριστιανῶν. ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικόν, συνοδικὸν βεβαιωτήριον γράμμα καὶ ἐδόθη τῷ κατὰ τὴν Πάτμον φροντιστηρίῳ τούτῳ. ,αψμε', ἐν μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος η'. †

† Ὁ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ Παρθένιος συναποφαίνεται. †

† Ὁ Ἡρακλείας Γεράσιμος. †
† Ὁ Νικαίας Παΐσιος. †
† Ὁ Σερρῶν Ἄνθιμος. †
† . . . . . . . . . . . †

† Ὁ Χαλκηδόνος Καλλίνικος. †
† Ὁ Σελυμβρίας Γρηγόριος. †
† Ὁ Νικομηδείας Κύριλλος. †
† Ὁ Ἀδριανουπόλεως Διονύσιος. †

*Archetyp. Flor. II. nro 70.*

## CL. 7257—1748, mense octobri, ind. XII.

*Patriarcha Cyrillus V. adhortatur fideles, ut dent eleemosynas monasterio maxima inopia laboranti.*

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Οἱ τῷ καθ᾽ ἡμᾶς ἀποστολικῷ, πατριαρχικῷ, οἰκουμενικῷ θρόνῳ ὑποκείμενοι ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι καὶ θεοφιλέστατοι ἀρχιεπίσκοποί τε καὶ ἐπίσκοποι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοί, ἐντιμιώτατοι κληρικοὶ τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ ἑκάστης ἐπαρχίας εὐλαβέστατοι ἱερεῖς καὶ ὁσιώτατοι ἱερομόναχοι, οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ, τοῦ Καταστένου καὶ ἁπανταχοῦ, εὐγενέστατοι ἄρχοντες, χρήσιμοι ἐπίτροποι τῶν ἐκκλησιῶν καὶ πραγματευταὶ καὶ καραβοκύριοι, μαγίστορες καὶ πρωτομαγίστορες τῶν ῥουφετίων καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοί, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ καὶ παρ᾽ ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις. καὶ αἱ ἄλλαι μὲν εὐποιίαι καὶ ἀρεταὶ ψυχωφελεῖς καὶ θεάρεστοι, μείζων δὲ πασῶν τῶν ἄλλων, συντομωτέρα τε καὶ εὐκολωτέρα μάλιστα ἐλεημοσύνη πέφυκεν· αὕτη καὶ γὰρ ὀφειλέτην τοῖς ἐργάταις αὐτῆς τὸν θεὸν ἀπεργάζεται· «ὁ ἐλεῶν γὰρ πτωχὸν δανείζει θεῷ, καὶ ὁ βαλὼν ἐν τῇ χειρὶ τοῦ πένητος εὑρήσει ἐν τῇ παλάμῃ τοῦ κριτοῦ καὶ καλύπτει πλῆθος ἁμαρτιῶν καὶ ῥύεται ψυχὴν ἐκ θανάτου» κατὰ τὰ ἱερογραφικὰ λόγια. διὸ καὶ εὐαγέσι τόποις καὶ ἱεροῖς καταγωγίοις καὶ μοναστηρίοις ἐνδείᾳ τε καὶ ἀπορίᾳ καταπιεζομένοις καὶ ἀνακαινίσεως χρήζουσι χορηγουμένη μείζονα καὶ τὴν κατὰ ψυχὴν τοῖς ἐλεήμοσιν ὠφέλειαν ἐπιμνηστεύεται. γνωστὸν τοιγαροῦν ἔστω πᾶσιν ὑμῖν, ὅτι κατὰ τὴν νῆσον Πάτμον διατελεῖ ἡμέτερον πατριαρχικόν, σταυροπηγιακόν, σεβάσμιον μοναστήριον ἐπ᾽ ὀνόματι σεμνυνόμενον τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ὅπερ ταῖς τοῦ καιροῦ ἀνωμαλίαις καὶ περιστάσεσιν καὶ ταῖς ἀφορήτοις συδόσεσιν εἰς ἐσχάτην ἔνδειαν, πτωχείαν τε καὶ στέρησιν τῶν ἀναγκαίων κατήντησεν, ἀλλὰ μὴν καὶ μέρος ἓν τοῦ αὐτοῦ ἱεροῦ μοναστηρίου ὑπὸ τῆς παρατάσεως τοῦ καιροῦ κατεσαθρώθη καὶ τέλειον κρημνισμὸν ἐπαπειλεῖ καὶ οἱ ἐν αὐτῷ συνασκούμενοι πατέρες οὐκ ἔχουσι δύναμιν καὶ τρόπον τοῦ ἀνακαινίσαι ἐκεῖνο. ὅθεν κοινῇ αὐτῶν γνώμῃ ἔγνωσαν προσδραμεῖν εἰς τὸ ἔλεος καὶ τὴν βοήθειαν ὑμῶν τῶν ἁπανταχοῦ εὐσεβῶν καὶ φιλοθέων χριστιανῶν, ἐλπίζοντες ἐκ τῆς καλῆς ὑμῶν συνδρομῆς καὶ πλουσίας βοηθείας ἀνεγεῖραι καὶ ἀνακαινίσαι τὸ σεσαθρωμένον ἐκεῖνο μέρος καὶ κυβερνῆσαι,

ὅσον τὸ δυνατόν, τὴν ἐσχάτην αὐτὴν ἔνδειαν καὶ πτωχείαν. καὶ δὴ πέμπουσιν ἐκ μέρους αὐτῶν τὸν ἐπιφέροντα τὸ παρόν, ὁσιώτατον καὶ λογιώτατον διδάσκαλον, ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Ἀθανάσιον, ἄνδρα τίμιον καὶ ἄξιον, ἀρεταῖς τε καὶ παιδείᾳ κεκοσμημένον καὶ λόγου δυνάμει ἐξησκημένον. ἀποδεχόμενοι τοίνυν αὐτὸν ἱλαρῶς τε καὶ εὐμενῶς συνδράμετε καὶ βοηθήσατε αὐτῷ λόγῳ καὶ ἔργῳ καὶ ἐλεημοσύνῃ, πλουσίᾳ χειρὶ καὶ ἀγαθοδότῳ προαιρέσει αὐτῷ ἐπίδοτε, ὁ μὲν πρόθεσιν δηλαδή, ὁ δὲ σαραντάριον ἢ παρρησίαν ἢ τεσσαρακονταλείτουργον, ἕκαστος καθὰ δύναται καὶ προαιρεῖται καὶ ἐκ θεοῦ φωτισθῇ, ὅπως διὰ τῆς θεαρέστου ἐλεημοσύνης, συνδρομῆς τε καὶ βοηθείας αὐτοὶ μὲν οἱ ἐν αὐτῷ πατέρες δυνηθῶσιν ἀνακαινίσαι τὸ μέρος ἐκεῖνο καὶ ἀνεγεῖραι, ὑμεῖς δὲ ὡς νέοι κτίτορες ἀναφανέντες ἕξοιτε μυριοπλασίονας τοὺς μισθοὺς παρὰ θεοῦ, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν. ᾧτινι ἱερομονάχῳ δεδώκαμεν ἄδειαν διδάσκειν τὸν λόγον τοῦ θεοῦ, ὅπου ἂν προσκληθῇ, ἐπιτραχήλιον φορεῖν, ἁγιασμοὺς ποιεῖν μετὰ τῶν ὧν ἐπιφέρει τεμαχίων ἱερῶν λειψάνων τοῦ τε ἁγίου Εὐστρατίου καὶ τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, καὶ τοὺς λογισμοὺς τῶν μετ' εὐλαβείας προσερχομένων αὐτῷ χριστιανῶν ἀναδέχεσθαι καὶ πάντα τὰ ἱερατικὰ ἐκτελεῖν, εἰδήσει μέντοι τῶν κατὰ τόπους προϊσταμένων. ‚αψμη', ἐν μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος γ'. †

*Archetyp. Flor. II. nro 71. Error in indictione, annus 7257 habet ind. XII.*

## CLI. 7270—1762, mense . . . ., ind. X.

*Patriarcha Ioannicius III, confirmat privilegia, possessiones libertatem que monasterii.*

† Ἰωαννίκιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Τῷ ἐπ' ἀγαθῷ καὶ θεαρέστῳ σκοπῷ συντελεσθῆναι φθάσαντα τὴν ἀρχήν, εἶτα καὶ τῇ μακρᾷ παρατάσει τοῦ χρόνου διὰ τῆς κατὰ διαδοχὴν ἀνανεώσεως ἐπιβεβαιωθέντα καλῶς καὶ τὸ ἀσφαλὲς καὶ μόνιμον καὶ ἀπηρτισμένον ὁλοτελῶς ἑαυτοῖς προσκτησάμενα, ταῦτα κατὰ πάντα καιρὸν τῆς καθηκούσης συστάσεως, ἀντιλήψεώς τε καὶ διαφενδεύσεως παρὰ τοῖς προεστάναι λαχοῦσιν ἐπάξια κρίνεται. ὁ δὴ τοιοῦτος κανὼν κἂν τοῖς ἄλλοις πᾶσιν, ὅσα κηδεμονίας χρήζει, ἐπὶ τῇ σφῶν διαμονῇ χρήσιμος ὤν, ἀναγκαῖός τε καὶ ὠφέλιμος καθ' ὑπέρτερον λόγον ἐπὶ τῶν ἁγίων ἐκκλησιῶν τοῦ θεοῦ, εὐαγῶν τε οἴκων καὶ

σεβασμίων μονῶν τὴν ὠφέλειαν καὶ τὸ χρήσιμον ἐπιδείκνυται. ταύτῃ τοι καὶ ἡ καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία καὶ οἱ κατὰ καιροὺς τοὺς πνευματικοὺς αὐτῆς οἴακας ἐπιτετραμμένοι θεόθεν κυβερνῆται τὰ πανταχόθεν προσαγόμενα παλαιγενῆ καὶ ἀρχαῖα σιγίλλια, ὅσα κατὰ καιροὺς εὐλόγως καὶ θεοφιλῶς διετάχθησαν σταυροπηγιακὴν φιλοτιμίαν ἐπιβραβεύοντα ἐπισήμοις καὶ βασιλικαῖς σεπταῖς μοναῖς τὸ ἐλεύθερον αὐταῖς καὶ ἀδούλωτον διὰ προνομίων ἐπιχορηγοῦντα πολλῶν, οὐ μόνον ἐγκρίνειν εὐμενῶς καὶ ἀποδέχεσθαι μεμαθήκασιν, ἀλλὰ καὶ συνιστᾶν καὶ κρατύνειν σπουδάζουσι καὶ ἐπιβεβαιοῦν διὰ μεταγενεστέρων πατριαρχικῶν σιγιλλίων οὐκ ἀπαναίνονται, ὅπως τῇ τοιαύτῃ κατὰ διαδοχὴν ἀνανεώσει πᾶσαν ἐνδεχομένην βλάβην καὶ ἐπήρειαν ἀποκρούσωνται καὶ τῶν καιρικῶν ἐφόδων ἀνωτέρους ἐς ἀεὶ καταστήσωσιν. ἐπειδὴ τοιγαροῦν προσκομισθὲν ἐνεφανίσθη ἤδη ἡμῖν προκαθημένοις συνοδικῶς γράμμα πρεσβυγενὲς πατριαρχικὸν συνοδικὸν ἐν μεμβράναις σιγιλλιῶδες τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀοιδίμου πατριάρχου καὶ συναδελφοῦ ἡμῶν, κυροῦ Καλλινίκου, βεβαιοῦν ἄλλα προγενέστερα γράμματα τῶν πρόπαλαι ἀοιδίμων πατριαρχῶν, διαλαμβάνοντα πάντα τὰ ἀνέκαθεν φιλοτιμηθέντα προνόμια διά τε χρυσοβούλλων λόγων βασιλικῶν καὶ διὰ γραμμάτων πατριαρχῶν σιγιλλιωδῶν τῇ ἱερᾷ καὶ σεβασμίᾳ, βασιλικῇ καὶ σταυροπηγιακῇ ἡμετέρᾳ πατριαρχικῇ μονῇ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου κατὰ τὴν νῆσον Πάτμον· αὐτίκα γάρ, φησιν, ὁ τῆς αἰωνίας μνήμης εὐσεβὴς βασιλεὺς Ἀλέξιος ὁ Κομνηνὸς χρυσόβουλλον ἐδωρήσατο τῷ κτήτορι τῆς αὐτῆς μονῆς, μοναχῷ Χριστοδούλῳ, δι᾽ οὗ ἐπιβραβεύεται ταύτῃ πᾶσαν ἐλευθερίαν, αὐτονομίαν τε καὶ αὐτοδεσποτείαν σὺν ἁπαξαπάσῃ τῇ νήσῳ Πάτμῳ μετὰ τῆς ὅλης περιοχῆς καὶ διακρατήσεως αὐτῆς ἐπ᾽ ἀναφαιρέτῳ καὶ διηνεκεῖ δεσποτείᾳ καὶ κυριότητι ἀτελῶς, ἀβαρῶς καὶ πάσης ἀπηλλαγμένῃ σεκρετικῆς συζητήσεως, ὅπως ἥ τε παρ᾽ αὐτοῦ ἐγερθεῖσα μονὴ καὶ οἱ ὑπ᾽ αὐτὴν μοναχοὶ κατέχωσι καὶ δεσπόζωσι τὴν νῆσον ταύτην ἀτελῶς, ἀβαρῶς, κυρίως καὶ αὐθεντῶς, ἀναφαιρέτως τε καὶ αἰωνίως, ταύτην τε τὴν δηλωθεῖσαν διορίζων σεβασμίαν μονὴν αὐτοδέσποτον καὶ αὐτεξούσιον μετὰ τῆς ὅλης νήσου διαμένειν ἐς ἀεὶ καθ᾽ ἑαυτὴν ἀγομένην καὶ διευθυνομένην, καὶ οὔτε αὕτη ἡ μονή, οὔτε τὰ ὑποκείμενα ταύτῃ μετόχια, οὔθ᾽ ἅπασα ἡ νῆσος ὑπὸ βασιλικὰ ἢ πατριαρχικὰ ἢ μητροπολιτικὰ ἢ ἐπισκοπικὰ ἢ ἐκκλησιαστικὰ ἢ ὑπό τινα ἄλλως ἰδιωτικὰ ὑπαχθήσονται πρόσωπα, ἀλλ᾽ ἐλευθεριάσουσι καθαρῶς χωρὶς αἰῶνος παντός.» κἀντεῦθεν πρὸς τῇ βασιλικῇ ταύτῃ φιλοτιμίᾳ καὶ πατριαρχικὸν ἐπεβραβεύθη σιγίλλιον τοῦ τηνικαῦτα τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον ἁγιωτάτου πατριάρχου, κυροῦ Ἰωάννου, κατακολουθοῦν μὲν ἐπὶ πᾶσι τοῖς ἐμφερομένοις τῷ

βασιλικῷ χρυσοβούλλῳ παρεχόμενόν τε ταύτῃ τῇ σεβασμίᾳ μονῇ τὸ ἀνεπηρέαστον καὶ ἀνενόχλητον καὶ ἀπὸ τῶν κατὰ καιροὺς ἀποστελλομένων ἐξάρχων καὶ παρ᾽ ἑτέρου προσώπου, ἀποκλεῖον δὲ καὶ τὴν εἴσοδον πᾶσι τοῖς ἀρχιερεῦσι τοῖς ὑφ᾽ ἑαυτοὺς ἄγειν τὴν μονὴν ἐπιχειροῦσιν, οὐ μὴν ἀλλὰ καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ μηδέν τι προσεῖναι ἐπὶ τῇ μονῇ ταύτῃ οἱονδήποτοῦν ἄλλο δίκαιον συγχωροῦν, ἀλλ᾽ ἢ μόνην τὴν ἀναφορὰν τοῦ οἰκείου ὀνόματος ἐν ταῖς θείαις ἱεροτελεστίαις, πρὸς τούτοις διοριζόμενον ἐξεῖναι τοῖς μοναχοῖς ἀκωλύτως παρ᾽ ᾧ ἂν βούλωνται τὰς ἑαυτῶν ποιεῖσθαι χειροτονίας καὶ καθ᾽ αὐτοὺς ἐνεργεῖν τὴν τοῦ σφῶν ἡγουμένου προχείρησιν. καθ᾽ ὃν ἁγιώτατον πατριάρχην κῦρ Ἰωάννην, καὶ ἕτεροι κατὰ καιροὺς πατριάρχαι, κῦρ Λουκᾶς δηλαδὴ καὶ κῦρ Συμεὼν καὶ κῦρ Ἰωάσαφ καὶ κῦρ Κύριλλος καὶ ἄλλοι τῶν μεταγενεστέρων κατὰ ταὐτὰ τοῖς ἰδίοις αὐτῶν σιγιλλιώδεσιν ὑπομνήμασι τὰ προνόμια τοῦ ἱεροῦ τούτου μοναστηρίου παντὶ σθένει διεκρατύναντο προσεπικυρούμενοι τὰ τῶν προγενεστέρων οἱ μεταγενέστεροι χάριν εὐλαβείας, σέμνωμα ταῦτα φάσκοντες εἶναι τῇ περιδόξῳ ταύτῃ μονῇ προσαρμοσθὲν ὑπὸ βασιλικῆς εὐσεβείας διὰ τὸ τὸν ἐπιστήθιον ἐκεῖνον μαθητὴν καὶ ἀπόστολον Ἰωάννην τὸν Θεολόγον ἐν αὐτῇ τῇ νήσῳ τὸ ἱερὸν συγγράψασθαι εὐαγγέλιον καὶ πρὸς τὸ βασιλικὸν χρυσόβουλλον ἀτενίζοντες κατ᾽ ἐκεῖνο, συνῳδὰ διακελεύονται τὴν σεβασμίαν ταύτην μονὴν αὐτοδέσποτον εἶναι καὶ καθ᾽ ἑαυτήν, τόν τε πνευματικῶς προϊστάμενον τῶν ἐν αὐτῇ συνασκουμένων μοναχῶν μηδενὶ πώποτε προσώπῳ ὑποκείμενον εἶναι, οὔτ᾽ ἐκκλησιαστικῷ, οὔτε κοσμικῷ, μόνην δὲ τὴν πατριαρχικὴν μεγαλειότητα κεφαλὴν ἐπιγινώσκειν πνευματικήν, πρὸς δὲ τῇ τῆς μονῆς κυριότητι διεξάγειν αὐτὸν πνευματικῶς καὶ πάντας τοὺς ἐν αὐτῇ τῇ νήσῳ οἰκοῦντας χριστιανοὺς καὶ μηδένα τῶν ἀρχιερέων παρείσδυσίν τινα κεκτῆσθαι τὸ παράπαν, οὔτε ἐν τῇ μονῇ, οὔτ᾽ ἔν τινι τῶν ὑπὸ τὴν μονὴν τελούντων κτημάτων, οὐδέ τι ἀρχιερατικὸν ἐπ᾽ αὐτοῖς διενεργεῖσθαι λειτούργημα, ἀλλ᾽ εἴ ποτε ἀρχιερέως δεηθείη ὁ κατὰ καιροὺς καθηγούμενος διὰ χειροτονίαν ἢ ἄλλην ἱεροπραξίαν τινά, μετακαλεῖσθαι ὅντινα τῶν ἀρχιερέων θελήσῃ. παρὰ ταῦτα τῶν φιλοδοξίας πως ἐπιμαινομένων καὶ τὰς ἀκαίρους ἡγουμενίας ὑφαρπάζειν ἐπιχειρούντων τὴν ὁρμὴν ἀναστέλλοντες διακελεύονται μηδ᾽ ὅλως ἐξεῖναι καθ᾽ ἕτερόν τινα τρόπον τὴν ἐκλογὴν προβαίνειν τοῦ καθηγουμένου τῆς μονῆς ταύτης, ἀλλ᾽ ἢ μόνον, καθὼς ἀνέκαθεν ἐπεκράτησεν ἐκ τοῦ ὅρου τοῦ κτήτορος αὐτῆς, ἐκείνου τοῦ εὐλαβοῦς μοναχοῦ, κῦρ Χριστοδούλου, ἤγουν αὐτοὺς μόνους τοὺς συνασκουμένους μοναχοὺς ἐν αὐτῇ τῇ μονῇ ἐκλογὴν ποιεῖν κοινὴν καὶ ὃν ἂν εὕρωσιν ἀρέσκοντα τῇ κοινότητι αὐτῶν, ἐκεῖνον καθιστῶσιν ἡγούμενον. καὶ ἐπὶ πᾶσι καλῶς καὶ νουνεχῶς διορίζουσιν, ὅπως εἴ γ᾽ ἔφθασέ τι

γενέσθαι ἢ γενήσεται ἔξω τῶν διατετυπωμένων τύπων τοῦ μοναστηρίου, ἐναντιούμενον τῇ μονῇ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς καὶ πρὸς σκάνδαλον ἀφορῶν ἢ καθόλου ἢ ἐν μέρει, τὸ τοιοῦτον ἀνίσχυρον εἶναι καὶ ἄπρακτον καὶ ὡς μὴ ὄν, μηδὲ γεγονὸς λογίζεσθαι, οἵτινες συνασκούμενοι ἐν αὐτῇ ὁσιώτατοι πατέρες ἐδεήθησαν καὶ ἡμῶν οὐ μικρὸν ἐπιχορηγῆσαι αὐτοῖς καὶ νεώτερον ἡμέτερον πατριαρχικὸν γράμμα κατὰ τοὺς πρὸ ἡμῶν ἁγιωτάτους πατριάρχας ἐπὶ πλείονι ἀσφαλείᾳ. τούτου χάριν καὶ ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτῶν μὴ παριδοῦσα καὶ ὡς ἐπικλινεῖς ἔχουσα τὰς ἀκοὰς ἀεὶ τοῖς φιλαρέτοις ἔργοις καὶ θεοφιλέσιν ἐπιχειρήμασι καὶ τῇ συστάσει καὶ ἐπιδόσει τῶν ἱερῶν σκηνωμάτων ὅλαις χερσὶ καὶ προθέσεσι προκειμένη ἀσμένως μάλα καὶ εὐμενῶς ἀποδεξαμένη κατὰ τὸ ἐπικρατοῦν ἔθος τῷ καθ' ἡμᾶς ἀποστολικῷ, πατριαρχικῷ τε καὶ οἰκουμενικῷ θρόνῳ, ἅτε δικαίαν οὖσαν καὶ εὔλογον, γράφει καὶ ἀποφαίνεται συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν αὐτῆς καὶ συλλειτουργῶν, ἵνα πάντα μὲν τὰ ἱερὰ ἔγγραφα ὑπομνήματα τῆς διαληφθείσης σεβασμίας μονῆς, ὅσα δηλαδὴ ἐκ τοῦ πάλαι ἀρχαίου προσεγένοντο ταύτῃ παρὰ τῶν εὐσεβῶν βασιλέων λαμπρὰ χρυσόβουλλα καὶ παρὰ τῶν ἀοιδίμων πατριαρχῶν σεπτὰ σιγίλλια τὰ κατ' αὐτὴν διοριζόμενα προνόμια ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν διαμένοντα κρατυνόμενα καὶ στηριζόμενα διὰ παντός, ἀπαρασάλευτά τε καὶ ἀμετακίνητα δι' ὅλου καὶ ἀμετάθετα, μέχρις ὁ ἥλιος ἐπὶ γῆς ἐφορᾷ, ἡ δὲ διαληφθεῖσα ἱερὰ καὶ σεβασμία μονὴ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου κατὰ τὴν νῆσον Πάτμον μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν τε καὶ ἀκινήτων, ὅσα τε ἤδη ἔχει καὶ ὅσα σὺν θεῷ ἐπικτήσεται ὕστερον καὶ πάντων τῶν μετοχίων αὐτῆς ὑπάρχῃ ὡς ἀνέκαθεν καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται βασιλική, πατριαρχικὴ καὶ σταυροπηγιακὴ πάντη ἐλευθέρα, αὐτόνομός τε καὶ αὐτοδέσποτος, ἀδούλωτός τε καὶ ἀκαταπάτητος καὶ ἀσύδοτος, ἀνενόχλητός τε καὶ ὅλως ἀκαταπάτητος παρὰ παντὸς προσώπου ἐκκλησιαστικοῦ καὶ λαϊκοῦ, μηδὲν μηδενὶ χρεωστοῦσα παρέχειν, εἰ μὴ μόνον τὸ ἐπικρατῆσαν ἐτησίως τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ, οἱ δὲ συνασκούμενοι ἐν αὐτῇ πατέρες μνημονεύωσι τοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, καὶ διάγωσιν εἰρηνικῶς, σεμνῶς τε καὶ κοσμίως, φυλάττοντες πρὸς τὸν καθηγούμενον αὐτῶν τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν, ὅπερ ἀπαραίτητον χρέος τυγχάνει τῇ μοναδικῇ καταστάσει κατὰ τοὺς πατρικοὺς καὶ κανονικοὺς ὅρους καὶ τύπους. ὁ δὲ καθηγούμενος τῆς μονῆς ἔχῃ τὰ ἐξ ἀρχῆς ἀπονεμηθέντα αὐτῷ προνόμια καθαρὰ καὶ ἀδούλωτα, μηδενός ποτε τολμήσοντος παραβιάζειν αὐτὸν

ἔσωθεν ἢ ἔξωθεν τοῦ μοναστηρίου καὶ εἰς δουλείαν ἕλκειν αὐτόν, ἀλλὰ καὶ ἡ ἐκλογὴ καὶ κατάστασις τοῦ ἡγουμένου κατὰ καιροὺς μὴ ἄλλως γίγνηται, εἰ μὴ κατὰ τὸν τύπον τοῦ κτήτορος, μόνοι δηλαδὴ οἱ πατέρες ποιῶσι τὴν ἐκλογὴν ἐκ μέσου αὐτῶν καὶ καθιστῶσιν ἡγούμενον, ὃν ἂν εὕρωσιν ἄξιον, καὶ ἀπέχοντες ὦσιν οἱ ἄλλοι μακρὰν τῆς τοιαύτης ὑποθέσεως, ἤγουν τῆς ἐκλογῆς τοῦ ἡγουμένου καὶ μήτε ἱερεῖς, μήτε λαϊκοὶ οἱ ἔξω τῆς τῶν πατέρων συσκηνίας ἔχωσιν ἄδειαν ἐμβαλεῖν ἑαυτοὺς εἰς τοιαύτην ὑπουργίαν κατ' οὐδεμίαν πρόφασιν, ὅπως φυλαχθῇ ὁ ἐξ ἀρχῆς τύπος τοῦ μοναστηρίου καθαρὸς καὶ ἀμετάθετος· εἰ γὰρ καὶ ἔφθασε γενέσθαι τι τοιοῦτον ἐναντίον τοῦ πάλαι τύπου, δέον ἐμποδισθῆναι τοῦ λοιποῦ καὶ ἄπρακτον διαμεῖναι κατὰ τὰς προειρημένας διακελεύσεις τῶν πατριαρχικῶν ἀποφάσεων. ὁπόταν δὲ χρεία γένηται χειροτονίας τινὸς καὶ ἀρχιερατικῆς ὑπουργίας ἐν τῷ μοναστηρίῳ, προσκαλεῖν ἔχῃ ὁ ἡγούμενος ἐπὶ τούτοις, ὃν ἂν ἐθελήσῃ τῶν ἀρχιερέων ἐπὶ τῷ ἐκτελεῖν τὰ ἀρχιερατικὰ ἄνευ μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὃς δ' ἂν ὀψέ ποτε τολμήσῃ παρὰ ταῦτα τὰ γεγραμμένα ποιῆσαι καὶ καθ' οἱονδήτινα τρόπον ἀνατρέψαι τὰς ἀποφάσεις τῶν παλαιγενῶν γραμμάτων καὶ εἰς δουλείαν τινὰ ὑπαγαγεῖν τὴν ἐλευθερίαν τοῦ μοναστηρίου ἢ ἐνοχλῆσαι τοῖς ἐν αὐτῷ ἀσκουμένοις ἢ ζητῆσαι πολὺ ἢ ὀλίγον ἐξ αὐτοῦ νοσφίσασθαι ἢ ἀποστερῆσαί τι τῶν ἀφιερωμάτων αὐτοῦ, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ὡς ἀλαζὼν καὶ φρονηματίας ἀφωρισμένος εἴη ἀπὸ τῆς ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καὶ εὕροι τὸν θεὸν ἀντίδικον αὐτοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς εἴη ὑπόδικος καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπεύθυνος. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο τὸ παρὸν ἡμέτερον πατριαρχικόν, συνοδικόν, ἐπιβεβαιωτήριον σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας. ἐν ἔτει ͵αψξβ´ τῷ σωτηρίῳ, ἐπινεμήσεως ιε´. †

*Exemplar chart. Flor. II. nro 72. Error in indictione, annus 7270 habet ind. X. Sub nro 73 exstat* ἕτερον ἴσον ὅμοιον. ἐν αὐτῷ εὕρηνται ἐπιπλέον α´. ἀντίγραφον τοῦ περὶ τῆς διαλύσεως τοῦ κοινοβίου ὑπόμνημα Νικηφόρου ἐκείνου τοῦ χαρτοφύλακος, περιεχόμενον ἐν τῷ ὑπ' ἀριθ. σξζ´ χειρογράφου τεύχει τῆς ἡμετέρας βιβλιοθήκης. β´. περὶ τοῦ Ἰωάννου Κουνέλη καὶ γ´ περὶ τοῦ γενομένου ἀναδασμοῦ μεταξὺ τῆς μονῆς καὶ τῆς κοινότητος τῶν κοσμικῶν. *Flor. Librarius autem noster scribit:* τὸ ὑπὸ τὸν ἄνωθι ἀριθμὸν σιγίλλιον εἶναι τὸ αὐτὸ καθόλα ὅμοιον τοῦ 72 ἀριθ. μὲ τὴν διαφορὰν μόνον, ὅτι τὸ τοῦ 73 εἶναι ἀντιγεγραμμένον ὀρθώτερον, τὰς ἐλλείψεις, ἅστινας τὸ ὑπὸ 72 ἀριθ. εἶχεν, ἀνεπλήρωσα ἐκ τοῦ 73.

## CLII. 7276—1768, die 16. mensis iunii, ind. I.

***Decisio patriarchae Samuelis I. de dominio canonico ecclesiae S. Georgii, dictae Pothae in Patmo.***

† Σαμουήλ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Πρὸς τοῖς ἄλλοις ἡ ἀλήθεια καὶ ταύτῃ τοῦ ψεύδους πλεονεκτεῖ καὶ δεόντως ὑπερέχει καὶ ὑπερίσταται, ὅτι τὸ μὲν ψεῦδος τῶν πραγμάτων ἔτι ἀμφιβαλλομένων λανθάνον τέως καὶ τῇ ποικιλότητι πείθων τοὺς προστυγχάνοντας εἰς τὸν τῆς ἀληθείας χῶρον παρεισδύεται καὶ καταλαμβάνει, τῷ χρόνῳ γε μὴν φωραθὲν πάλιν αὖ εἰς τὰ ἑαυτοῦ ἀτίμως μεταδιώκεται· ἢ γὰρ ἂν πάντα κατεῖχε τὸ ψεῦδος τοῖς πράγμασιν ἀεὶ ἐπισκοτοῦν, ἡ δ' ἀλήθεια, εἰ καὶ ἁπλῆ καὶ διαγνῶναι χαλεπή, ἔμπης δ' οὖν ἐμφανισθεῖσα ἐπὶ τοσοῦτον ἔχει τὰς πίστεις καὶ βεβαιώσεις, ὥστε οὐδὲ τὸν ἅπαντα χρόνον δύνασθαι ἐξαλεῖψαι. ταύτῃ τοι καὶ γράμμασιν ἐπισημαίνεται τὰ περὶ αὐτῆς, ἵνα μή τι τοῦ λοιποῦ ἐναντίον συμβῇ παραδοθὲν τῇ λήθῃ τὸ ἀληθές. οὕτω τοίνυν καὶ ἐπὶ τοῦ προκειμένου προεξεδόθησαν μὲν κατὰ ἀπάτην γράμματα πατριαρχικὰ συνοδικὰ περὶ τῆς κατὰ τὴν νῆσον Πάτμον ἐκκλησίας τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου καὶ ἐπιλεγομένης τῆς Πόθας κατὰ ζήτησιν τοῦ Μάρκου Ῥάλη καὶ τῆς Κυριακῆς, τῶν πρωτεξαδέλφων, συνιστῶντα δῆθεν αὐτοῖς τὴν δεσποτείαν τῆς ἐκκλησίας ταύτης ὡς προπατορικῆς αὐτῶν οὔσης τοῦ ποτε Καλλονᾶ. ἤδη δέ, ἐπειδὴ ἐνεφανίσθη ἡμῖν κοινὴ ἀναφορὰ γεγραμμένη τῇ δεκάτῃ πέμπτῃ τοῦ παρελθόντος ὀκτωβρίου τοῦ ‚αψξζ' σωτηρίου ἔτους, κατησφαλισμένη ταῖς ὑπογραφαῖς τῶν τε χρησίμων γερόντων καὶ προεστώτων τῆς νήσου ταύτης καὶ τοῦ καθηγουμένου τοῦ ἐκεῖσε ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, τοῦ ὁσιωτάτου κὺρ Ἰακώβου, καὶ τῶν λοιπῶν συνασκουμένων πατέρων καὶ κατεσφραγισμένη τῇ σφραγῖδι τοῦ αὐτοῦ μοναστηρίου, τῇ καὶ τῆς κοινότητος τῆς νήσου ταύτης, ἐν ᾗ δηλοποιεῖται ἡμῖν, ὅτι κοινῆς ἐκεῖσε συνελεύσεως γενομένης εἰς ἀκριβῆ ἔρευναν καὶ ἐξέτασιν κατὰ τὴν πατριαρχικὴν ἡμῶν ἐπιταγὴν περὶ τῆς εἰρημένης ἐκκλησίας τοῦ ἁγίου Γεωργίου, ἐμαρτυρήθη παρὰ πάντων τῶν πρεσβυτέρων καὶ γεροντοτέρων τῶν ἐν τῇ αὐτῇ νήσῳ, τῶν γινωσκόντων τὰ περὶ τῆς ἐκκλησίας ταύτης πρὸ ἑξήκοντα καὶ ἑβδομήκοντα σχεδὸν χρόνων, ὅτι ἡ ἐκκλησία αὕτη ὑπῆρχέ ποτε προπατορικὴ κτητορικὴ τοῦ ποτε ἀρχιεπισκόπου Καρπάθου, Νεοφύτου Γριμάνη, μετὰ

θάνατον δ' ἐκείνου ἐκληρονόμησεν αὐτὴν ἡ ἀνεψιὰ αὐτοῦ ποτε Θεολογοῦ, ἀφ' ἧς πάλιν περιῆλθε κληρονομικῶς ἐκ διαδοχῆς εἰς τὸν υἱὸν αὐτῆς Γεώργιον, καὶ ὅτι ἀπὸ τοσούτους χρόνους οὐ γινώσκουσι δεσπότην τῆς ἐκκλησίας ταύτης, οὔτε τὸν Ἰωάννην Καλλονᾶν, οὔτε τὸν υἱὸν ἢ ἔγγονον ἐκείνου, οὔτε ἄλλον τινά, εἰ μὴ τοὺς ῥηθέντας κληρονόμους τοῦ ποτε Καρπάθου Γριμάνη. ὅθεν ἐπειδὴ ἀπὸ χρόνων τοσούτων ἐφάνη ἡ ῥηθεῖσα ἐκκλησία κτῆμα κτητορικὸν προπατορικὸν τοῦ εἰρημένου Γεωργίου κατὰ τὴν ῥηθεῖσαν ἐνυπόγραφον καὶ ἐνσφράγιστον ἀναφοράν, ἄλλως τε καὶ τῶν θείων καὶ ἱερῶν νόμων ἀσύστατον εἶναι διακελευομένων τὴν μετὰ τριακονταετίαν ὁποιανοῦν ἀγωγὴν περὶ ἐκκλησίας, διὰ ταῦτα ἔγνωμεν διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους γράμματος τὰ μὲν κατὰ ζήτησιν τοῦ εἰρημένου Ῥάλη καὶ τῆς Κυριακῆς προεκδοθέντα πατριαρχικὰ καὶ συνοδικὰ γράμματα ἀκυρῶσαι, ὡς κατὰ ἀπάτην ληφθέντα, ἐπιβεβαιῶσαι δὲ τὴν δεσποτείαν τῆς ἐκκλησίας ταύτης τῷ εἰρημένῳ Γεωργίῳ. καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ μὲν κατὰ ἀπάτην περιειλημμένα παρὰ τοῦ Μάρκου Ῥάλη καὶ τῆς Κυριακῆς, τῶν πρωτεξαδέλφων, πατριαρχικά, συνοδικὰ γράμματα ὑπάρχωσι πάντη ἄκυρα καὶ ἀνίσχυρα καὶ ὥσπερ ἂν εἰ μηδὲ ἐγεγόνεσαν πώποτε, νομιζόμενα μηδεμίαν ἐξουσίαν καὶ μετοχὴν ἔχοντος οὔτε τοῦ εἰρημένου Μάρκου ἢ τῆς Κυριακῆς, οὔτε ἄλλου τινὸς ἐν τῇ εἰρημένῃ ἐκκλησίᾳ κατὰ τὴν νῆσον Πάτμον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τῇ ἐπιλεγομένῃ τῆς Πόθας, ὑπάρχῃ δ' αὕτη ἡ ἐκκλησία ὑπὸ τὴν κτητορικὴν προπατορικὴν διοίκησιν καὶ ἐξουσίαν τοῦ ῥηθέντος Γεωργίου, υἱοῦ τῆς ποτε Θεολογοῦς, μηδενὸς τοῦ λοιποῦ τολμῶντος ἐπηρεάσαι καὶ ἐνοχλῆσαι αὐτῷ ἀδίκως καὶ παραλόγως περὶ τῆς κτητορικῆς ἐξουσίας τῆς ἐκκλησίας ταύτης. ὅστις δ' ἂν φιλαδίκως ἐπιχειρήσῃ εἰς τὸ ἑξῆς ἀποσπάσαι ἀπ' αὐτοῦ τὴν εἰρημένην ἐκκλησίαν, ὁ τοιοῦτος, ἱερωμένος μὲν ὤν, ὡς διεστραμμένος καὶ φιλάδικος ἀργὸς μένῃ πάσης ἱερατικῆς ἐνεργείας καὶ τάξεως καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος καὶ δικαιώματος, ἂν δὲ τῶν λαϊκῶν ᾖ, εἴτε ἀνήρ, εἴτε γυνή, ἀφωρισμένος ὑπάρχῃ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος. καὶ εἰς τὴν περὶ τούτων ἔνδειξιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικόν, συνοδικόν, σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐδόθη τῷ εἰρημένῳ Γεωργίῳ, καταστρωθὲν καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας. ἐν ἔτει σωτηρίῳ ,αψξη', ἰουνίῳ ιϛ', ἐπινεμήσεως α'. †

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ.ΔΙΑΤΗΡ. Κατ.Π. ΙΩΑΝΝΙΝΑ 2006

† Ἐν μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος α'. †

† Ὁ Θεσσαλονίκης Θεοδόσιος. † † Ὁ Φερσάλων Νικόδημος. †

† Ὁ Βιζύης Γεράσιμος. † † Ὁ Νικομηδείας Νικηφόρος. †

† Ὁ Λαρίσσης Μελέτιος. †

*Archetyp. membr. cum bulla plumbea. Flor. II. nro 75, qui haec habet:* Σιγίλλιον περὶ τῆς ἐκκλησίας τοῦ ἁγίου Γεωργίου τῶν Ἀπορθιανῶν. τὰ Ἀπορθιανὰ καλεῖται ἡ βόρειος τῆς πόλεως Πάτμου πλευρά. *nro 76:* Σιγίλλιον Θεοδοσίου β' ἐν μεμβράνῃ περὶ τῆς αὐτῆς ἐκκλησίας τῷ *1769.* ἄρχεται· «καλὸν μὲν ἂν ἦν ἐν τοῖς μάλιστα, εἰ πάντες ἄνθρωποι δίκαιοι ὄντες ἀεὶ τὰ δίκαια ἐφρόνουν καὶ ἔπραττον». *Librarius noster declarat:* σιγίλλιον ἀναφέρον αὖθις τὰ αὐτὰ περὶ τῆς ἐκκλησίας τοῦ ἁγίου Γεωργίου, καὶ τούτου ἕνεκα παρελείφθη. *Confr. nro CXLIV.*

## CLIII. 7277—1769, mense martio, ind. II.

*Patriarcha Samuel I. iubet inquiri in statum scholae litterarum graecarum et bibliothecae monasterii.*

† Σαμουήλ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁσιώτατε καθηγούμενε τοῦ κατὰ τὴν νῆσον Πάτμον ἱεροῦ καὶ σεβασμίου, σταυροπηγιακοῦ ἡμῶν μοναστηρίου τοῦ τιμωμένου ἐπ' ὀνόματι τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου καὶ λοιποὶ ἐν αὐτῷ συνασκούμενοι ὁσιώτατοι πατέρες, χρήσιμοι προεστῶτες καὶ γέροντες καὶ λοιποὶ εὐλογημένοι χριστιανοὶ τῆς αὐτῆς νήσου Πάτμου, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ θεοῦ. γνωστὸν ὑμῖν ἔστω, ὅτι προνοούμενοι τῆς κοινῆς τοῦ γένους ὠφελείας κοινὴν ἀνελάβομεν φροντίδα, νὰ συστήσωμεν ὅλα τὰ φροντιστήρια καὶ σχολεῖα τοῦ καθ' ἡμᾶς ἁγιωτάτου, ἀποστολικοῦ, πατριαρχικοῦ καὶ οἰκουμενικοῦ τούτου θρόνου διὰ νὰ γίνηται καρπὸς ἐν μαθήσει προκοπῆς καὶ ἐπιδόσεως. ἐναρξάμενοι δὲ ἐκ τῶν πλησίον κειμένων ἐσυστήσαμεν πρῶτον τὸ ἐνταῦθα ἐν Κωνσταντινουπόλει πρώτιστον φροντιστήριον μὲ ὅλους τοὺς ἀναγκαίους καὶ δυνατοὺς τρόπους διὰ κοινῆς προθυμίας καὶ συνδρομῆς τῶν τε ἱερωτάτων συναδελφῶν, ἁγίων ἀρχιερέων καὶ εὐγενεστάτων ἀρχόντων μετὰ παντὸς τοῦ ἐνταῦθα χριστωνύμου πληρώματος, ἐνατενίζοντες δὲ καὶ εἰς τὰ ἔξω κείμενα φροντιστήρια καὶ ἀνερευνῶντες περὶ ἑκάστου ἐζητήσαμεν πρὸ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. & Δ. Κ. ΤΠ ΙΩΑΝΝΙΝΑ 2006